ώπιον τῶν ἐθνῶν, ὧν αὐτοὶ εἰσιν ἐν μέσῳ αὐτῶν, ἐν οἷς ἐγνώσθην
πρὸς αὐτοὺς ἐνώπιον αὐτῶν τοῦ ἐξαγαγεῖν αὐτοὺς ἐκ γῆς Αἰγύ-
10 πτου. [10]καὶ ἐξήγαγον αὐτοὺς ἐκ γῆς Αἰγύπτου καὶ ἤγαγον αὐτοὺς
11 εἰς τὴν ἔρημον [11]καὶ ἔδωκα αὐτοῖς τὰ προστάγματά μου καὶ τὰ
δικαιώματά μου ἐγνώρισα αὐτοῖς, ὅσα ποιήσει αὐτὰ ἄνθρωπος καὶ
12 ζήσεται ἐν αὐτοῖς. [12]καὶ τὰ σάββατά μου ἔδωκα αὐτοῖς τοῦ εἶναι
εἰς σημεῖον ἀνὰ μέσον ἐμοῦ καὶ ἀνὰ μέσον αὐτῶν τοῦ γνῶναι
13 αὐτοὺς διότι ἐγὼ κύριος ὁ ἁγιάζων αὐτούς. [13]καὶ εἶπα πρὸς τὸν
οἶκον τοῦ Ισραηλ ἐν τῇ ἐρήμῳ Ἐν τοῖς προστάγμασίν μου πο-
ρεύεσθε. καὶ οὐκ ἐπορεύθησαν καὶ τὰ δικαιώματά μου ἀπώσαντο,
ἃ ποιήσει αὐτὰ ἄνθρωπος καὶ ζήσεται ἐν αὐτοῖς, καὶ τὰ σάββατά
μου ἐβεβήλωσαν σφόδρα. καὶ εἶπα τοῦ ἐκχέαι τὸν θυμόν μου ἐπ᾽
14 αὐτοὺς ἐν τῇ ἐρήμῳ τοῦ ἐξαναλῶσαι αὐτούς. [14]καὶ ἐποίησα ὅπως
τὸ ὄνομά μου τὸ παράπαν μὴ βεβηλωθῇ ἐνώπιον τῶν ἐθνῶν, ὧν
15 ἐξήγαγον αὐτοὺς κατ᾽ ὀφθαλμοὺς αὐτῶν. [15]καὶ ἐγὼ ἐξῆρα τὴν χεῖρά
μου ἐπ᾽ αὐτοὺς ἐν τῇ ἐρήμῳ τὸ παράπαν τοῦ μὴ εἰσαγαγεῖν αὐτοὺς
εἰς τὴν γῆν, ἣν ἔδωκα αὐτοῖς, γῆν ῥέουσαν γάλα καὶ μέλι, κηρίον
16 ἐστὶν παρὰ πᾶσαν τὴν γῆν, [16]ἀνθ᾽ ὧν τὰ δικαιώματά μου ἀπ-
ώσαντο καὶ ἐν τοῖς προστάγμασίν μου οὐκ ἐπορεύθησαν ἐν αὐτοῖς
καὶ τὰ σάββατά μου ἐβεβήλουν καὶ ὀπίσω τῶν ἐνθυμημάτων τῶν
17 καρδιῶν αὐτῶν ἐπορεύοντο. [17]καὶ ἐφείσατο ὁ ὀφθαλμός μου ἐπ᾽ αὐ-
τοὺς τοῦ ἐξαλεῖψαι αὐτοὺς καὶ οὐκ ἐποίησα αὐτοὺς εἰς συντέλειαν
18 ἐν τῇ ἐρήμῳ. [18]καὶ εἶπα πρὸς τὰ τέκνα αὐτῶν ἐν τῇ ἐρήμῳ Ἐν
τοῖς νομίμοις τῶν πατέρων ὑμῶν μὴ πορεύεσθε καὶ τὰ δικαιώματα
αὐτῶν μὴ φυλάσσεσθε καὶ ἐν τοῖς ἐπιτηδεύμασιν αὐτῶν μὴ συν-
19 αναμίσγεσθε καὶ μὴ μιαίνεσθε· [19]ἐγὼ κύριος ὁ θεὸς ὑμῶν, ἐν τοῖς
προστάγμασίν μου πορεύεσθε καὶ τὰ δικαιώματά μου φυλάσσεσθε
20 καὶ ποιεῖτε αὐτὰ [20]καὶ τὰ σάββατά μου ἁγιάζετε, καὶ ἔστω εἰς ση-
μεῖον ἀνὰ μέσον ἐμοῦ καὶ ὑμῶν τοῦ γινώσκειν διότι ἐγὼ κύριος
21 ὁ θεὸς ὑμῶν. [21]καὶ παρεπίκρανάν με καὶ τὰ τέκνα αὐτῶν, ἐν τοῖς
προστάγμασίν μου οὐκ ἐπορεύθησαν, καὶ τὰ δικαιώματά μου οὐκ
ἐφυλάξαντο τοῦ ποιεῖν αὐτά, ἃ ποιήσει ἄνθρωπος καὶ ζήσεται ἐν
αὐτοῖς, καὶ τὰ σάββατά μου ἐβεβήλουν. καὶ εἶπα τοῦ ἐκχέαι τὸν

9 εκ γης αιγ. ⌒ 10 εκ γης αιγ. Bcompl. || 13 post πορευεσθε add. A και τα δικαιωματα μου φυλασσετε του ποιειν αυτα α ποιησει αυτα (cf. 21) ανθρωπος και ζησεται εν αυτοις: cf. quae sequuntur et 11; deinde praeb. A alteram uersionem huius uersus και παρεπικραναν (cf. 21) με ο οικος ισραηλ εν τη ερημω, εν τοις προσταγμασιν μου ουκ επορευθησαν και τα δικαιωματα μου απωσαντο etc. || 14 εποιησα] pr. ουκ AL: cf. 9 || 16 των καρδιων] καρδιας B† || 18 συναναμισγεσθε B† (cf. Thack. p. 275)] -μιγνυσθε (uel -θαι) rel. || 20 και 3°] + ανα μεσον A (in O sub ※) | γινωσκειν] + υμας A | διοτι] οτι A || 21 εν 1°] pr. και Apau. | ποιησει Bpau.] + αυτα rel. (in O sub ※)

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id41624694X/806 UNIVERSITÄT LEIPZIG